τὸν Θουκυδίδην τῶν ἄλλων, ὅσῳ τῶν ἁπάντων εὗρε τὸ κάλλιστον. (Αἰτία κατασκευῆς) Οὔτε γὰρ λόγων ἐν τοῖς οὖσι κρεῖττον ὑπάρχει λαβεῖν, οὔτε Θουκυδίδου σοφώτερόν ἐστιν εὑρεῖν. Ἔστι δ᾽ ὅτε καὶ ὁλόκληρον τὸν συλλογισμὸν προτιθέασιν, ἐφ᾽ οὗ τὸ συναγόμενον ἀξιώσεως εἰληφὸς βάσεως λόγον ἔσχηκεν. ὧν παραδείγματα καὶ ἐπ᾽ ἄλλων μάλα συχνά, καὶ παρὰ Δημοσθένει ἐπιστήσαντες εὑρήσετε. Ἐνίοτε δὲ καὶ τὴν πρώτως ἐκτεθειμένην πρότασιν ἀκατασκεύαστον παρέντες, ἐφ᾽ ἕτερον μεταβαίνουσι συλλογισμὸν εἴτουν ἐνθύμημα, ὃ καὶ κατασκευαστέον τὸν δευτέρῳ εἰρημένον τρόπον, οἷόν ἐστι καὶ τὸ τοῦ Δημοσθένους ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων. Κομψότης δὲ καὶ τὸ εὔμονον καὶ πρὸς ἁρμονίαν κεκροτημένον παντὶ λόγῳ κόσμος ἐστὶν οὐκ ἄνευ ἡδονῆς τοῖς ἀκούουσι (πλὴν εἴπου ὁ λόγος διὰ τὸ ἐναγώνιον ἀποποιῆται τὸ ἔντεχνον,) προοιμίῳ δὲ μᾶλλον ἐστὶ προόδου, ἅτε δὴ καὶ εὐνοίας κατάληψις. ἢ διὰ τῆς τῶν λόγων ἡδονῆς μνηστεύεσθαι πέφυκε, καὶ τὸ εὔσημον διὰ τὴν εὐμάθειαν. Καὶ περὶ μὲν προοιμίου τοσαῦτα ἀποχρώντως εἰρῆσθαι ἔδοξεν. ἣν δέ τι καὶ παρειμένον ᾖ, ἥτε τῶν εἰρημένων κατάληψις εἰς τὴν κἀκείνου ὁδηγετήσει γνῶσιν, καὶ τὸ ὑμῶν ἅμα τε ἀγχίνουν καὶ φιλόπονον τοῦτο ἀναπληρώσεται.

## ΠΕΡΙ ΔΙΗΓΗΣΕΩΣ ΕΙΤΟΥΝ ΠΡΟΘΕΣΕΩΣ.

Τὸ προοίμιον ἡ πρόθεσις εὐθὺς διαδέχεται. ἡ γνησίως μὲν ὁριζομένη, Ἔκθεσις λέγοιτ᾽ ἂν πραγμάτων καὶ δήλωσις περὶ ἃ συνέστηκεν



ΙΩΑΝΝΙΝΑ 2006

ἡ ὑπόθεσις. εἰδικῶς δὲ τεμνομένης εἰς δύο, θάτερον εἶδος διεξοδικώτερόν τι πέφυκεν ἐκφέρεσθαι. καὶ κατά τινα ἐγκατάσκευον ἔκφρασιν. αἰτίας τε γὰρ τῶν γεγονότων πολλάκις ἀναπτύσσει, περιστάσεις τε σαφηνίζει, καὶ πᾶν ὁτιοῦν εἰς τὸ σαφέστερον τῆς ἐκθέσεως συντείνει, εὐμεθόδως διερμηνεύει, καὶ τοῦτο διήγησις εἰδικῶς ἑρμηνεύεται. Θάτερον δὲ ἁπλοῦν τε ἐστὶ καὶ ἀκατάσκευον, καὶ συντομωτάτην εἴληχε καὶ ψιλὴν τὴν δήλωσιν. ὃ καὶ ἀνώνυμον ἐστὶ κατὰ τὴν διαφοράν. οὐδὲ πάνυ πολλῆς δέεται τῆς τοῦ Ῥήτορος ἐπιτεχνήσεως, ἅτε δὴ μονομερὲς ὄν, καὶ ψιλῶς ἐκφέρον τὰ πράγματα, μηδὲν τῶν πέριξ προσεφελκόμενον. πλὴν εἴπου ἐπ' αὐτοῦ δεήσει γε προδιακρῖναι τὰ ἐν τῇ προθέσει ζητούμενα. οὐδήτινες καὶ προκατασκευὴν ἐσχημάτισαν. ἣν καὶ διττῇ συνεζεῦχθαι χώρᾳ ἀνωτέρω ἔφθημεν εἰρηκότες. νῦν μὲν ἐν προοιμίοις, ποτὲ δ' αὖ ἐν διηγήσει, ἔστιν ὅτε καὶ ἐν ἀμφοτέροις ἐπιτετήδευται. ἐπειδὰν δήπου ἡ ὑπόθεσις πολλῶν οὖσα πραγμάτων περιεκτικὴ συμπεπλεγμένη τε δοκείη καὶ δυσδιάκριτος, ἧς ἵνα τὴν σύγχησιν διαλύσας εὐξύνετα ἀπεργάσῃ τὰ ῥηθησόμενα, τῇ τῶν ζητουμένων διαιρέσει ὁ Ῥήτωρ κέχρηται. ἣν καίπερ σπανίως, πλὴν ἐστὶν ἰδεῖν καὶ ἐπὶ τῶν λοιπῶν τοῦ λόγου μερῶν φιλεργουμένην ὑπὸ τοῦ Ῥήτορος, μνήμης ἢ εὐμαθείας ἕνεκεν. Παράδειγμα μὲν οὖν ψιλῶς ἐκφερομένης προθέσεως, τὸ δημοσθενικόν ἐστιν ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων. τῆς δὲ κατὰ διαίρεσιν, τὸ τοῦ Ἰσοκράτους πρὸς Νικοκλέα. ἐν οἷς δὲ ἐπ' ἀμφοτέρων ἡ διαίρεσις ἐστὶ φιλοτεχνηθεῖσα,

σα,

σα, εἰ βουλομένοις ἐστὶ μαθεῖν, αὐτόν γε διέξειτέ τὸν πρὸς Νικοκλέα λόγον, καὶ Δημοσθένους τὸν περὶ παραπρεσβείας. Τῆς διηγήσεως ἀρεταὶ μὲν ἴσως καὶ ἄλλαι, ἀναγκαῖαι μέντοι σαφήνεια μετὰ πειθανότητος. ὧν ἐκτὸς ἡ διήγησις, τἠνάλλως φιλοπονεῖται πόῤῥω που τοῦ οἰκείου τέλους ἐκπίπτουσα. δήλωσις γὰρ ἡ ἐν πολιτικῷ λόγῳ διήγησις ἐστι γεγονότος πράγματος, εἰ μὲν τοῦ πιθανοῦ ἀμοιρήσειεν, οὐ γεγονότος λοιπὸν, ἀλλ' ἐνδεχομένου ὑπάρξει ἀνάπτυξις, παρὰ δὲ τὸ ἀσαφὲς, καὶ τοῦ ὅλου εἶναι δήλωσις διαμαρτήσει, καὶ περιττὸν τοῖς, ὡσὰν ἐμβοβήσεται τῶν ἀκροατῶν παρενόχλημα. οὐκοῦν ἀνακεκράσθω ἐν διηγήσει τῇ σαφηνείᾳ τὸ πιθανὸν, καὶ ἀνάπαλιν τῷ πιθανῷ ἡ σαφήνεια. ἀτελὲς γὰρ θάτερον παρὰ θάτερον. Ἁπλῶς μὲν οὖν εἰπεῖν ἐπὶ παντὸς λόγου σαφηνείας ἐστὶ πορισμώτατον ὑπέρτι ἄλλο, ἀκριβολογία, καὶ τὸ μηδὲν παραλιπεῖν τῶν τοῖς πράγμασι παρεπομένων, πρόσωπον δηλονότι τὸ πρᾶξαν, τὸ πεπονθὸς, τόπον, χρόνον, αἰτίαν, καὶ τὰ λοιπὰ τῶν περιστατικῶν. ταύτης οὐχ ἧττον ποιητικὴ καὶ ἡ ἐν τάξει καθ' ἣν ἐπράχθη, εἴτ' οὖν ἐκ φύσεως ἢ τέχνης κεκλήρωται τῶν πραγμάτων ἀφήγησις. Παραιτεῖται δὲ καὶ τὰς ἐπιβολὰς ἡ ἐνάργεια, καὶ οὐδὲν ἀνέχεται συνεφέλκεσθαι ἔξωθεν. ἢ γένος εἴδει, ἢ μέρει ὅλον, ἢ ἀόριστον ὡρισμένῳ, καὶ τὰ ὅμοια. ἐκτὸς εἰ μή που τοιοῦτόν τι τοῦ χαρακτῆρος ἀπαιτεῖ ἰδιότης, ὡς ἐν ἐκείνοις ἱκανῶς διώρισται. Σχήμασι δὲ σαφήνειαν κατορθώσομεν τοῖς ἀφηγηματικοῖς καὶ ὀρθῶς ἐκφέροντες, μηδὲν πλαγιάζοντες,

ΙΩΑΝΝΙΝΑ 2006

ζοντες ἢ συμπλέκοντες, ἐπαναφοραῖς τε καὶ ἐπαναλήψεσιν ἀναπτύσσοντες. ὅτι μὴ ἐναργῶς εἰρῆσθαι δοκεῖ, καὶ μεταβαίνοντες ἀφ' ἑτέρου ἐφ' ἕτερον, τοῦ μὲν συμπληρῶσαι, τοῦ δὲ ἐπαγγελίᾳ χρώμενοι. Κώλων δὲ τὰ μικρὰ καὶ κομματικὰ μάλιστα συμβάλλεται πρὸς ἐνάργειαν, ἅτε καὶ ἀπαρτίζοιεν καθ' ἑαυτὰ τὰς ἐννοίας, καὶ ἐξ ὀνομάτων εὐπορήσωμεν σαφηνείας, ἢ τὰ μὲν κοινὰ ἐναργῆ τε καὶ εὔσημα θηρώμενοι, τροπικά τε καὶ μεταφορικὰ οὐ προϊέμεθα. τῶν πεποιημένων μέντοι ὅσα Ῥήτορσιν εὔχρηστα, καὶ μάλα εἰσὶ πρόοδοι εἰς σαφήνειαν, ἅτε δὴ κατὰ μίμησιν ἐκφερόμενα. μίμησις γὰρ πᾶσα ἐναργείας ποιητική, μάλιστα δὲ διηγήσει προσήκουσα. ἥπερ καὶ ἠθικὴ βούλεται εἶναι, ἦθος δηλαδὴ καὶ τρόπον ἐμφαίνουσα, καθ' ὃν τὸ δηλούμενον εἴργασται. Ἀλλ' οἷς μὲν σαφήνεια ἐκπορίζεται ταῦτα.

## ΠΕΡΙ ΠΙΘΑΝΟΤΗΤΟΣ.

Πιθανῶς ἀφηγησόμεθα, Πρῶτον, εἰ ταῖς τῶν προσώπων ἰδιότησι καταλλήλως τὰς ἐνεργείας ἀπονέμημεν. οἷον πλουτοῦντι μὲν, τὸ ἀσελγαίνειν. ὀργιζομένῳ δὲ παραφέρεσθαι. καὶ πράῳ μὲν, καταλλάττεσθαι. δειλῷ δὲ, φεύγειν. καὶ τὰ ὅμοια. Δεύτερον, εἰ τὰς αἰτίας ἑκάστου τῶν γεγονότων σαφηνίσωμεν, οὐ τὰς προσεχεῖς μόνον, ἀλλὰ καὶ τὰς πορρωτέρω, εἶτα καὶ ἐκ τῶν παρεπομένων, ἢ τὸν τόπον πρὸς τὸ τοιάδε γεγονέναι ἁρμόδιον, ἢ τὸν χρόνον καθ' ὃν ἐπράχθη κατὰ λόγον ἐξενέγκομεν τὴν διανομήν, καὶ τὰ λοιπὰ ὡσαύτως. Τελευταῖον

δὲ

δὲ καὶ ἐκ τοῦ πράγματος, ὃ διέξιμεν, εἰ τοῖς τῶν ἀκουόντων ἤθεσι καὶ γνώμαις μὴ ἀντιβαίνοι. ἃ γὰρ παράτισιν ἐν ἐπαίνου λόγῳ ξυγχάνουσι, καὶ διὰ τοῦτο ἀναίδην εἰωθότα γίγνεσθαι, παρ' ἄλλοις ἄθεσμα κρίνεται, καὶ οὐ σαίνυτοι ῥᾳδίως τολμώμενα. Ἂν δέ τι παράδοξον ἔνεστι τῇ διηγήσει, ὁμολογητέον μὲν, οὐ μέντοι ἀδύνατον διὰ τοῦτο ῥητέον, καὶ τὰς αἰτίας ἐξενεγκεῖν πειρατέον. Ἔστι δὲ διχῶς καὶ αὐτὴν ἐξενεγκεῖν τὴν διήγησιν. ἢ ἁπλῆν, ὅτε τὰ πεπραγμένα ψιλὰ ἐκτίθεται, ὡς ἐν τῷ κατὰ Κόνωνος αἰτίας Δημοσθένης, καὶ ἐν τῷ παραγραφικῷ πρὸς Ζηνόθεμιν. Ἐγκατάσκευον δὲ, ὅτε καὶ τὰς αἰτίας καὶ τὰ παρεπόμενα διὰ τὰ πραχθέντα ἐκφράσωμεν. ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους, ἢ δὲ ἐν τῷ πρὸς Λεπτίνην, ἔνθα περὶ τῶν πράξεων τοῦ Χαβρίου ποιεῖται τοὺς λόγους δεινῷ χαρακτῆρι μάλιστα πρέπουσα· καὶ ταῦτα ὅτε περὶ γνωρίμων ὁ λόγος, ἀπαριθμήσει δὲ μᾶλλον, ἢ διηγήσει ἔοικε. Πλατύνεσθαι δὲ πέφυκεν ἡ διήγησις ἔκ τε τῆς τῶν παρεπομένων, καὶ προηγουμένων διεξοδικωτέρας ἀναπτύξεως, καὶ τῶν ἐκείνων αἰτίων. διαφερόντως δὲ ἐκ τριῶν τούτων, ἥπερ Ἑρμογένει δοκεῖ· ἐξ ἑρμηνείας ῥητορικωτέρας τοῦ πράγματος. τοῦτο ποικίλοις ὀνόμασι καὶ κώλοις ἐκφέροντες πλέκωσιν. ἐκ προσλήψεως τῶν τε παραλειφθέντων. καὶ ἐξ αἰτίας τῶν παραλειφθέντων καὶ τῶν πραχθέντων. ἔστω δὲ καὶ σαφηνείας ἕνεκεν ὡς ὑπὸ προβλήματος. Ἁλιρρόθιος ὁ τοῦ Ποσειδῶνος Ἀλκίππην τὴν τοῦ Ἄρεως διακορήσας· καὶ ἡ διήγησις, ὡς παρὰ τοῦ Ἄρεως. (Προκα-

τάτασις τῆς διηγήσεως ἤτοι προδιήγησις) Καί μοι ἀντιβολῶ κατὰ νοῦν ἀναλάβετε ἅπερ ἐγὼ παρὰ ἀνθρώπων ὕβρισμαι. σκέψασθε εἰ φορητὰ κἂν τοῖς ἐπιεικεστάτοις τῶν θεῶν, μὴ ὅτιγε Ἄρει, τῷ καὶ ἄλλοις ὑβριζομένοις ἀμύνεσθαι λαχόντι. (Ἐκ τῶν παρεπομένων εὐμαθείας ἕνεκα) Ἦν παῖς Ἀλιρρόθιος, ὃν ὑμεῖς ἴστε Ποσειδῶνος τουτουὶ ἐξ Εὐρύτης τῆς νύμφης, ἀσελγὴς ὑπὲρ τις ἄλλος, καὶ πρὸς ἡδονὰς εὐκατάφορος, ἐν οὗτος ἔθρεψε κακόν, σωφρονοῦσιν ὀλέθριον, κόραις ἐπίβουλον, πατρᾶσι τῆς τούτων δυστυχίας οὐ τῆς τυχούσης παραίτιον. (Ἀρχὴ τῶν προηγησαμένων τῷ γεγονότι) Τοῦτον ἀνεψιὸν ὄντα προσιέμην τε ὡς εἰκὸς ὡς τὰ μάλιστα φιλοφρονούμενος, καὶ πάντα τἀμὰ αὐτῷ ἄσμενος ἐπέτρεπον, τά τ' ἄλλα ἐφιλανθρωπευόμην, καὶ Ἀλκίππῃ (ἣν οἴδατε) θυγατρὶ φιλτάτῃ, οὐχ ἧττον διὰ σωφροσύνην περιπίστῳ, ἢ ἀποβλέπτῳ διὰ τὴν ὥραν, συνεῖναι τε παρεχώρουν καὶ διαλέγεσθαι. (Ἐκ τῶν παραλειφθέντων) Οὐχ ὡς μὰ Δία δεινόν τι παθεῖν παρ' αὐτοῦ, ἢ τολμηρὸν, οὐδὲ τὸ τῆς παρθένου κάλλος ἐπιβουλεύσοντα ὑποτοπάσας. (Ἐκ τῆς αἰτίας) Ἀλλ' ὡς συγγενεῖ μᾶλλον καὶ οἰκείῳ ταύτῃ προσενεχθῆναι, καὶ πρὸς σωφροσύνην, τὰ μὲν παραινετικοῖς συντελέσαι λόγοις, τὰ δὲ καὶ ἔργοις, εἴπου τις αὐτὴν λίχνοις ὄμμασιν ἀτενίσειεν ἀμυνόμενον τῇ παιδί. (Ἐκ τῶν παραλειφθέντων) Ὁ δὲ τηλικούτων ἀξιωθεὶς παρ' ἐμοῦ, οὔτε τὸν ἄγρυπνον τῆς ὄπιδος ὑπείδετο ὀφθαλμὸν, οὔτε θεῶν δίκην διευλαβήθη, οὔτε τὸ πατρὸς ἀξίωμα ἠδέσθη, πολὺ ὄντος.

ὄντος, καὶ τοῦ τῶν θεῶν ὑπάτου ἀδελφοῦ, οὔτε μὴν ἐδεδοίκει τοὐμὸν τουτὶ δόρυ. (Ἐκ τῶν ἑπομένων διὰ τὸ πραχθὲν) Ἀλλ' ἠμείψατο τὴν φιλανθρωπίαν τὴν ἐμὴν ἀδικίᾳ, πονηρίᾳ δὲ τὴν φιλοφροσύνην, καὶ τὴν πίστιν ὕβρει τῇ περὶ τὴν κόρην. (Ἐκ τῶν παραλειφθέντων) Ἀποστερήσας αὐτὴν οὐ χρημάτων ὄγκον, οὐ πλῆθος θεραπαινίδων, οὐχ ἱκετῶν ὅμιλον, οὐχ ὅρμους, οὐ περιδέραια, οὐχ ὅσ' ἄλλα ταῖς παρθένοις εἰς κόσμον ἀπόκειται, ἀλλὰ τὸ πάντων παρθένων περισπούδαστόν τε καὶ τιμαλφέστατον, καὶ ὅπερ ἅπαξ ἀπολειφθὲν, οὐκ ἔνι λοιπὸν ἀνακαλέσασθαι, τὴν παρθενίαν.

## ΠΕΡΙ ΓΟΡΓΟΤΗΤΟΣ ΚΑΙ ΑΚΜΗΣ ΕΝ ΤΑΙΣ ΔΙΗΓΗΣΕΣΙ.

Ὁπηνίκα δ' ἂν ἡμῖν ἀκμαίως καὶ μετὰ γοργότητος ἀφηγήσασθαι βουλομένοις ᾖ, αὐτό τε τὸ πρᾶγμα καὶ τὴν περὶ τοῦ πράγματος ἀξίωσιν, καὶ προσέτι τὴν ταύτης αἰτίαν ποικίλοις τοῖς σχήμασι καὶ διαφόροις τοῖς κώλοις ἑρμηνευτέον. ὅπερ εὐστόχως τῷ Ἑρμογένει παρατετήρηται ἐν τῷ περὶ διηγήσεως. οἷον ἐπὶ τοῦ ἐκτεθέντος προβλήματος. (Ἐκ τοῦ πράγματος) Ὀφθαλμοῖς ἀδίκοις αὐτὴν εἶδε, καὶ εἰδὼν ἥλω, καὶ ἄλλους πεῖραν προσῆγεν, ἀλλὰ διήμαρτε. χρῆται προαγωγείαις, καὶ δῶρα, τὰ μὲν πέμπει, τὰ δὲ ὑπισχνεῖται, ἀλλ' ἀποκρούεται. καταφεύγει λοιπὸν ἐπὶ τὴν βίαν, μακρὰν χαίρειν φράσας τὸ πείθειν, καὶ χεῖρας ἐπιφέρει παροίνους, ἐφ' ἣν ὀφθαλμοὺς πρότερον· καὶ ἡ μὲν, δυσφορεῖ, ἀνιᾶται, ἀντιβολεῖ, δακρύει,

ἀμύσσει τὰς παρειάς, ἀλλ' ἀνύει οὐδὲν οὐ δαμῶς ἐλεουμένη. (Ἐκ τῆς ἀξιώσεως) Τίς οὕτω θρασὺς καὶ ἄτεγκτος, ὃς οὐκ ἂν δυσαναχετήσειε τοῖς πεπραγμένοις, μὴ ὅτι πατὴρ ὢν τῆς ταῦτα παθούσης, ἀλλὰ καὶ τῶν τυχόντων εἷς; ἀλλὰ καὶ αὐτὸς ὁ ἀντίδικος; τίς οὐ μισήσειε τὸ ἀσελγὲς καὶ ἐπίβουλον τοῦ ταῦτα τολμήσαντος; τίς οὐκ ἂν συναγωνίσαιτο τῇ παρθένῳ, καὶ εἰς ἄμυναν διανασταίη, δίκην εἰσπράττων παρ' αὐτοῦ τὴν προσήκουσαν; (Ἐκ τῆς αἰτίας τῆς ἀξιώσεως) Δι' ὃν σωφροσύνη φρούδη. δι' ὃν παρθένος οὐκ ἔτι παρθένος. δι' ὃν ἀνετράπησαν νόμοι, καὶ θεσμοὶ θνητῶν διελύθησαν. ποία γὰρ ἐν ἀνθρώποις τοῦ λοιποῦ πίστις, εἴπερ ἐν συγγενέσι σκευωρεῖται τοιαῦτα; τίς τῶν νέων εἰς τοὐπιὸν σωφρονεῖν ἕλοιτο, ἂν ὁ τοῦ Ποσειδῶνος ἀσελγαίνων, οὐκ ἐνδίκῃ κολάζεται;

## ἘΝ ΤΙΣΙ ΤΩΝ ΛΟΓΩΝ ἈΝΑΓΚΑΙΑ ἘΣΤΙΝ Ἡ ΔΙΗΓΗΣΙΣ, ἘΝ ΟἿΣ ΔΕΙ ΔΙΗΓΕΙΣΘΑΙ, ΚΑΙ ὩΣ.

Οὐ παντὶ μέντοι τῶν λόγων εἴδει τῶν ἀναγκαίων ἐστὶν ἡ διήγησις, ἀλλ' ἔστιν ἃ καὶ ταύτην παντάπασιν ἀποποιεῖται. καὶ οὐδὲ ἐν οἷς ἐνδεῖ διηγήσεως ἐφ' ἑκάστου τῶν κατὰ μέρος, ἐν τούτοις προβαλλομένων ἐστὶν ἀναγκαία, αὐτίκα ἐπὶ τοῖς κατ' ἐπίδειξιν ἐφ' οἷς μᾶλλον δοκεῖ τῶν ἄλλων ἐμφιλοχωρεῖν ἡ διήγησις, ἐπειδὰν αἱ πράξεις γνώριμοι ὦσιν. οἷον αἱ τοῦ Ἀχιλλέως, ἢ Αἴαντος, περιττὸν πάντως ἡ ἔκφρασις. δεῖ γὰρ τηνικαῦτα ἐπαγαγόντα ταύτας αὐξῆσαί τε καὶ ἐμπεδῶσαι τὸν Ῥήτορα, οὐ μὴν δια-

διατρίβειν παρεισκυκλοῦντα καὶ παλιλλογοῦντα, ἃ
τοῖς κωφεύουσιν (ὅ φασι) δῆλα, τούτῳ γὰρ πρὸς
τῷ περιέργῳ, καὶ ἀποκναίει τοὺς ἐπαΐοντας διὰ
τὸν κόρον. ἐν οἷς δὲ οὐδὲν, ἢ πάνυ ὀλίγα περὶ
τοῦ ἐγκωμιαζομένου ἴσασιν οἱ ἀκροαταὶ, καὶ τού-
των ὀλίγοι, διηγητέον μὲν, οὐ μὴν πάντα ἐφεξῆς
καὶ ἀδιακόπως κατὰ συνέχειαν. δυσμνημόνευ-
τον γὰρ τὸ τοιοῦτον, καὶ πλάνην ἐμποιεῖ τοῖς
ἀκούουσιν. ἐν καιρῷ τῶν αὐξήσεων. ἀλλ' ἕκαστον
τῶν τοῦ ἐπαινουμένου προτερημάτων, καὶ τῷ λόγῳ
χρήσιμον καθ' αὑτὸ ἐκφραστέον, ἰδίᾳ καὶ ἐπαυ-
ξητέον, οἷς ἐν τοῖς περὶ πίστεως κεφαλαίοις ἐ-
ροῦμεν, οὐ παρατιθέντος ὡς ἐξ ὑπαρχῆς τὴν
μετάβασιν ἐφ' ἕτερον ποιητέον.

## ΠΕΡΙ ΔΙΚΑΝΙΚΟΥ ΕΙΔΟΥΣ.

Ἐπὶ τοῦ δικανικοῦ δὲ, τοῖς μὲν κατηγοροῦσι
πρὸ ἔργου ἐστὶν ἡ διήγησις, ἐγκατάσκευος
γίνεται ὡς τὰ πολλὰ καὶ μετὰ δριμύτητος ἐκ-
φερομένη. οἱ δὲ ἀπολογούμενοι μόλις μὲν ἅ-
πτονται διηγήσεως, ἐπειδὰν δὲ καὶ ἅψαιντο,
καὶ συντετμημένως μάλιστα τοῦτο μεθοδεύονται.
καὶ ἐφ' ὅσον ἂν τοῦ ἀντιδίκου καθάψαιντο, εἴτι
μὴ ὀρθῶς ἀφηγήσατο. Ἡ δημηγορία δὲ καθ'
αὑτὴν ἀπροσδεής ἐστι διηγήσεως (ὥς φησιν Ἀ-
ριστοτέλης) ἅτε δὴ περὶ τῶν μελλόντων ποιουμέ-
νη τοὺς λόγους, ἔνθα ἡ διήγησις παρῳχηκότων
ὑπάρχει ἀνάπτυξις. παραδείγματος δὲ ἕνε-
κα καὶ τὰ προγεγενημένα πολλάκις ἀνιστορεῖ ὁ
δημηγορῶν· ὡς ἂν ἐκείνων μνησθέντες οἱ ἐκκλη-
σιασταὶ, εὐοδώτερον περὶ τῶν εἰς ἔπειτα ποιή-
σωνται τὴν διάσκεψιν.

## ΠΕΡΙ ΠΙΣΤΕΩΣ.

Ἀλλ' εἴπερ οἶκον δομήσοντες προπύλαια μὲν καὶ προαύλια, καὶ τὰ πέριξ αὐλῆς διαπρεπῶς ἀνεγείραντες, γραφῇ τε καὶ πλαξὶ ἠνθισμέναις μαρμάρων εἰς κάλλος ἀπεφαιδρύνομεν· εἴπου θαλάμους τε καὶ ἀνδρῶνας, διαπρεπέστερον ἐκοσμοῦμέν τε καὶ εἰς ὕψος ἤρομεν, εἰ μὴ παρὰ τοῖς ὁρῶσι γραφὴν ἀπειροκαλλίας φυγεῖν ἐμέλλομεν· φέρε δὴ κἀπὶ τοῦ παρόντος· ἐπεὶ μὲν ὅτε τῶν τοῦ λόγου προθύρων κόσμος ἅλις ἔχειν δοκεῖ; τότε τὰ πέριξ αὐλῆς κατὰ τὸ ἐγχωροῦν διηνθισαίτε καὶ ἀπηκρίβωται, ἐπ' αὐτὴν ἤδη χωρῶμεν τὴν τοῦ λόγου παστάδα τὴν πίστιν, περὶ ἣν τὰ λοιπὰ φιλεργεῖται, καὶ ἧς ἕνεκα λόγου ἐν λόγῳ ἠξίωται. εἰ γὰρ τοῦ πιθανοῦ ὁ Ῥήτωρ ἐν πᾶσιν ἐστὶ θηρευτικὸς, ἡ πίστις ἀντὶ πάντων ἐκείνῳ ἔσται, ἐπεὶ τούτου ἐστὶ περιμώτατον ἁπάντων ἡ πίστις, ἐπιχείρημα οὖσα τῷ ζητουμένῳ ἀπεργάζον ἐπὶ θάτερον πιθανότητα. Τοιγαροῦν πρὸ πάντων ἐφ' οὑτινοσοῦν προβληθέντος ζητήματος τὴν σημασίαν σκοπεῖν δέον ἑκάστης τῶν λέξεων, δι' ὧν ἐκφέρεται τὸ ζητούμενον. ἧς τὴν εἰς τὸ ἀκριβὲς κατάληψιν, οἷάπερ κρηπῖδα τοῦ ὅλου λόγου προκαταβλητέον· ταύτης δὲ ἐγνωσμένης, τὴν τῶν ὀνομάτων ποιότητα, πότερον ἰδία ἐστὶν, ἢ κοινὴ, ἀναθεωρήσωμεν. ταυτὸν δ' εἰπεῖν εἰ περιστατικόν ἐστι τὸ προβληθὲν, εἰ τῶν ἀπεριστάτων. ἰδίαν μὲν γὰρ ποιότητα ἔλαχε τὰ περιστατικὰ, οἷα εἰσὶν, ὅσα ἐξ ὡρισμένων σύγκειται καὶ κυρίων ὀνομάτων. ὧν γένος, καὶ ἀγωγὴν, καὶ πατρίδα, πράξεις τε, ἐπιτηδεύματα, ἢ ἀκοῇ ἴσμεν, ἢ

ἐξ

ἐξ ἱστορίας παρειλήφαμεν. ἃ καὶ ἀφθονεστέραν μνηστεύεται τὴν τῶν ἐνθυμημάτων εὐπορίαν, ὡς πᾶσαν ἐν ἑαυτοῖς συλλαβόντα ὕλην τε καὶ ποιότητα. κοινὴν δὲ κέκτηται τὴν ποιότητα, ὅσα ἀπερίστατα, καὶ ἃ τοῖς γραμματευομένοις προσηγορικὰ κέκληται. οἷον, πατήρ, υἱός, μοιχός, ῥήτωρ, καὶ τὰ ὅμοια. ὧν καὶ οἱ τῶν ἐπιχειρημάτων τόποι, οὐχ ὅτι καθόλου, ἀλλὰ καὶ κοινοὶ τυγχάνουσιν αὐτῶν τε περὶ ὧν λέγομεν καὶ τῶν ὁμοταγῶν. ταῦτα γὰρ ἐνθυμήματα ἐπὶ πάντων ἁρμόττει τῶν ὁμοίων προσώπων. μεθ' ὃ ζητητέον τῶν στάσεων, ἐφ' ἣν τὸ προβληθὲν ἀναφέρεται ζήτημα. περὶ ὧν ὅσον ἐγχωροῦν ἦν πῶς συντόμως τῆς πραγματείας ἐν τῇ προθεωρίᾳ εἴρηται, καὶ παρ' Ἑρμογένει ἀποχρῶσαν πεποιήκαμεν τὴν διάσκεψιν. καὶ τελευταῖον ἔς τινα τῶν τριῶν ἐκείνων τοῦ λόγου γενικῶν τελῶν στάσεων διορίζομεν. ὧν ἁπάντων ἡ θεωρία προλαμβανομένη, τὴν τῶν ἐπιχειρημάτων εὕρεσιν εὐοδωτέραν παρέχοι ἂν ἐς σαφεστέραν τῶν εἰρημένων διάγνωσιν. οὐκ ἀπὸ σκοποῦ τὸν λόγον ἐφ' ὑποδείγματος γυμνάσαι. Κείσθω δὲ ἡμῖν τὸ ζητούμενον ἐπὶ τοῦ παρόντος, πότερον ἐπωφελὴς ἡ περὶ τὴν ἀστρονομίαν σχολή, ἢ οὔ. οὗ τὴν τῶν λέξεων σημασίαν ἀνερευνήσαντες, εὑρίσκομεν, τὴν μὲν ἐπωφελὲς σημαίνουσαν παντιοῦν ἐς εὐπόρησιν τινὸς ἀγαθοῦ συμβαλλόμενον. τὴν δὲ ἀστρονομίαν, ἐπιστήμην περὶ τοὺς ἀστέρας. σχολὴ δὴ ἐσθ' ὅτε τὴν ἀργίαν σημαίνει, νυνὶ δὲ τὴν περί τι σπουδὴν καὶ διατριβήν. τούτων δὲ γνωσθέντων τὴν τῶν ὀνομάτων ποιότητα διασκεπτομένοις, κοινὴ ἀναφαίνεται. οὔτε γὰρ ἐνταῦθα τὸ

τινὶ

τινὶ ἢ κατά τι ἐπωφελὲς ζητεῖται, οὐδὲ εἴ τις ἀστρολογία, ἀλλ᾽ ἁπλῶς καὶ τῶν περιστατικῶν ἐξῃρημένη· ταττόμενον δ᾽ αὖ ὁρῶμεν τὸ πρόβλημα τῶν ἀνωτάτω ἐκείνων ζητήσεων ὑπὸ τὴν ποιότητα. ὑποτίθεται γὰρ ἐνταῦθα ἥ, τε ὕπαρξις τῆς ἀστρολογίας, καὶ τὸ τί ἐστιν· ἀμφισβητεῖται δὲ τὸ ἐπωφελές. Ἔστι δὲ λογικὴ ἡ στάσις, καὶ περὶ μέλλοντος οὖσα πράγματος. ὅθεν καὶ εἰς γένος ἀναφέρεται τὸ συμβουλευτικόν. προτρέπει γὰρ ἐνταῦθα ὁ προβαλλόμενος ταῦτα, πείθοιν ἀστρονομίας ἀντιποιεῖσθαι. ἔστι δέ πως καὶ λεληθότως ἐγκώμιον. ἐφ᾽ ἃ γὰρ προτρέπομεν, ταῦτα τῶν ἀγαθῶν εἶναι καὶ ἐπαινουμένων ὑποτιθέμεθα. Ταῦτα οὖν ἱκανῶς προανατεθεωρηκότες, λοιπὸν εἰς τὴν τῶν ἐπιχειρημάτων ὕλην (ἣν καὶ στοιχεῖα τε καὶ τόπους τῷ Ἀριστοτέλει καλεῖν σύνηθες) τὴν μετάβασιν ποιησόμεθα, ὅθεν ἂν οἷοί τε ὦμεν ἐνθυμημάτων εὐπορῆσαι εἰς τὴν τοῦ ὑποκειμένου πίστωσίν τε καὶ διατράνωσιν. Οἱ γοῦν τόποι κατὰ πρώτην ἐπιβολὴν γενικῶς δίχα τέμνονται. εἴς τε τοὺς ἀτέχνους, καὶ ἐντέχνους, ὡς καὶ ἀνωτέρω δεδήλωται. ὧν θάτερον μέρος καὶ λόγων μακροτέρων καὶ κατασκευῆς τῆς παρὰ τοῦ Ῥήτορος ἀπροσδεής ἐστιν. πλὴν ὅσων ἐς χρῆσιν καὶ ἀπαγγελίαν ἀνήκει. θάτερον δὲ τέχνης δεῖται, ἐπειδήπερ καὶ ἔντεχνον. ὃ καὶ τριμερῆ τὴν διαίρεσιν εἴληχεν. ὅσοι γάρ τι οὐσιῶδες δηλοῦσι τοῦ ὑποκειμένου περὶ οὗ ἡ ζήτησις, οὐσιώδεις εἰκότως ἂν κληθεῖεν. ὅσοι δὲ τινος τῶν περὶ τὴν οὐσίαν εἰσὶ δηλωτικοί, πάντως ἐπουσιώδεις. εἰ δ᾽ αὖ ἐκτός τε μετενηνεγμένοι, κοινοὶ λέγοιντ᾽

ἂν

ΙΩΑΝΝΙΝΑ 2006

ἄν ὡς πᾶσι κατὰ ταυτὰ ἐφαρμόττοντες. Οὐσιώδεις μὲν οὖν ἂν εἶεν. ὅρος. ὑπογραφή. ἐτυμολογία. σύστοιχα. γένος. εἶδος. διαφορά. οἷς συναριθμείσθω καὶ τὸ ἴδιον. Ἐπουσιώδεις δὲ, ὅσοι τῷ ζητουμένῳ παρέπονται, καίπερ τῆς οὐσίας ἐκείνου εἰσὶν ἀλλότριοι. τοιοῦτοι δέ εἰσιν. αἰτία. ἐνέργεια, ἤτοι ἀποτέλεσμα. τρόπος. πρόσωπον. τόπος. χρόνος, καὶ ἔτι τούτοις παρεμφερές. Ἔξωθεν δὲ, οὓς καὶ κοινοὺς προσαγορευτέον ἐφήμει, εἰσὶν οὗτοι. ὅμοιον. ἀνόμοιον. ἴσον. ἔλαττον. μεῖζον. ἐναντίον. ἀντικείμενον. στερητικόν. ἀξίωσις, ἔτι μαρτυρία.

## ΠΕΡΙ ΟΡΟΥ.

Τῶν οὐσιωδῶν τόπων οὐκ ἀπεικότως ὁ ὅρος τὴν πρώτην εἴληχε τάξιν, ἐπεὶ καὶ αὐτῆς τῆς τοῦ ὑποκειμένου πράγματος οὐσίας ἐστὶ λόγος συντετμημένος ὡς ἔνι τὰ μάλιστα καὶ ἀριδήλως ἐκφαντικός. Δεῖ δὲ τὰ ἐν ὁρισμῷ παραλαμβανόμενα, οὐσιώδη τε εἶναι, καὶ πρότερα τῇ φύσει, καὶ γνωριμώτερα. ἐκεῖνο μὲν, ὅτι τῆς οὐσίας τυγχάνει δηλωτικά. τοῦτο δ' αὖ, ὅτι καὶ δηλωτικά. τοιαῦτα δὲ εἰσὶ τά τε γένη καὶ αἱ διαφοραί. ὧν τὸ μὲν γένος καθολικώτερον ὂν, καὶ ἐπὶ πλέον ἐπεκτεινόμενον, ἡ διαφορὰ ἐπελθοῦσα συσφίγγει τε καὶ συμπιέζει, καὶ τῷ ὁρισμῷ ἰσοστροφεῖν ἀποκαθίστησιν. οἷον ἐπὶ τοῦ προβληθέντος ζητήματος. Ἀστρολογία (εἴ τις φαίη) ἕξις ἐστὶ θεωρητική. ἀληθεύσειε μὲν, οὐκέτι δὲ καὶ τὴν οὐσίαν ἐκείνης διακεκριμένως δηλώσειε. κοινὸν γὰρ τουτὶ καὶ ἐπὶ πάσας ἐπεκτεινόμενον τὰς ἐπιστήμας. ἂν δ' ἐπαγάγῃ,

περί τε τὰς ἐποχὰς, καὶ φορὰς τῶν οὐρανίων σωμάτων στρεφομένη, καὶ τὰ ἐν τοῖς καθ' ἡμᾶς ἐκ τούτων ἀποτελούμενα, τὴν ἀστρολογίαν ὁλοκλήρως ἀφορίσας εἶναι, καὶ διακρίνας παντὸς ἄλλου, πρὸς ὃ μηδαμῶς πρότερον ἀντιδιεστέλλετο. Θαυμάσιον δέ τι χρῆμα ἡγεῖται Ἑρμογένης τὴν τέχνην, ἣν αὐτὸς ἐπινενοηκέναι φησὶ πρὸς ἀνασκευήν τε καὶ κατασκευὴν τὴν περὶ τοὺς ὅρους· ἥπερ ἐστὶν ἐκ τῶν παρεπομένων καὶ εἰωθότων συμβαίνειν τοῖς πράγμασι, τοὺς ὅρους ἀνασκευάζειν τε καὶ κατασκευάζειν. ἀλλ' ἐκεῖνος μὲν τοῖς δικαζομένοις ἰδιαίτερον. καὶ μάλιστα ἐπειδὰν περὶ τὸν ὅρον συσταίη ἡ ἀμφισβήτησις. Τοῖς δὲ δημηγοροῦσί τε καὶ πανηγυρίζουσιν οὐ πάνυ εὔχρηστος. ἤτοι γὰρ ὡς ἀρχὴν τὸν ὅρον λαμβάνοντες ἐκ πρώτου πειρῶνται συναγαγεῖν τὸ ἀμφισβητούμενον. καὶ τὸ ὑπόδειγμα ἔστω ἐπὶ τοῦ παρόντος, ὃ καὶ κατὰ Ῥήτορας ἐκθησόμεθα, μικρὰ τῆς τῶν διαλεκτικῶν ἀκριβολογίας φροντίσαντες. Θεῖον τῷ ὄντι καὶ παντὸς ἐπέκεινα θαύματος τὸ περικαλλὲς τουτὶ καὶ ποικίλον ὑπὲρ κεφαλῆς θέαμα. ἐληλαμένον μὲν ἐν κύκλῳ τῆς γῆς, καὶ περὶ αὐτὴν διηνεκῶς ἑλιττόμενον, οἱονεὶ λίθοις εὐανθέσι κεκοσμημένον τοῖς ἄστρασιν, ἡλίῳ σελήνῃ εἰς τὸ διηνεκὲς καταυγαζόμενον. ὃ καὶ ὁρᾶν μὲν ἔκπληξις, καὶ μὴ ὁρᾶν ἐσχάτη δυσπραγία νομίζεται. ἐπὶ τούτου εἴτις ἡμᾶς ἀναγαγὼν, ξεναγήσῃ χοροὺς ἄστρων καὶ δρόμους, αὐγάς τε καὶ ἀνατολὰς ἡλίου καὶ σελήνης ὑποδείξας, πόσου ἂν τιμησαίμεθα; τοιοῦτον τοιγαροῦν ἡ ἀστρολογία. ἥπερ οἷά τινι ὀξυωπεῖ φαρμάκῳ ταῖς γεωμε-

τρι-

τέραις ἀποδείξεσι τὴν ἐπιπροσθοῦσαν τῇ διανοίᾳ ἀχλὺν ἀνακαθαίρουσα, ὀξυδερκῆ πρὸς τὴν τῶν ἀκηράτων ἐκείνων σωμάτων θέαν παρασκευάσει. Εἶτα ἐπαγαγόντες καθ᾿ ἕνα τὰ τοῦ ὁρισμοῦ μέρη, ῥητορικώτερον ἑρμηνεύσομεν. Εἰ δέ ποτε καὶ ἀνασκευάσαι βουλώμεθα τὸν ὁρισμὸν, σκεπτέον εἴ τις ἐν αὐτῷ εἴληπται λέξις ὁμώνυμος, ἢ ἐκ μεταφορᾶς, ἢ ἀσυνήθης καὶ καταχρηστικῶς, ἢ ἂν περιττόν τι πρόσκειται καὶ περίεργον. οὗ ἀφαιρεθέντος, τοῖς καταλειπομένοις δηλοῦται ἡ οὐσία τοῦ ὁριστοῦ, εἴ τις παρειμένος ἢ παρηλλαγμένος ἢ, οὐ ἄνευ, ἐλλειπὴς ὅρος καὶ ἀσαφής. Ἐκ τούτων οὖν καὶ τῶν ὁμοίων πειρατέον ἀνασκευάζειν τοὺς ὁρισμοὺς, ὥσπερ καὶ κατασκευάζειν ἐκ τῶν ἐναντίων. Ἔστι δὲ πολιτικωτέρα μέθοδος, εἰς ἀνατροπὴν καὶ ἐμπέδωσιν τοῦ ὅρου, ἣν εἰσηγεῖται Ἑρμογένης ἐν τῷ περὶ ὅρου. αὕτη δὲ διαλεκτικὴ μᾶλλον καὶ φιλοσόφοις προσήκουσα, οὐ μὴν οὐδὲ Ῥήτορσιν ἀνοίκειος, κατ᾿ ἐκείνους ἐκφερομένη.

## ΠΕΡΙ ΥΠΟΓΡΑΦΗΣ.

Ὑπογραφὴ ὅρος ἐστὶν ἀτελὴς, καὶ οἷον πεπηρωμένος, τὸ τί ἐστιν ἤτοι τοῦ ὑποκειμένου οὐσίαν κατά τινα τυπώδη τῇ τῶν συμβεβηκότων περιγραφῇ, ἐπαινιττόμενος· ὡς ἥπερ ὑπογραφὴ, οὐδὲ μονοειδής ἐστι καὶ ἁπλῆ, ἀλλὰ πολλῶν ὄντων τῶν συμβεβηκότων, πολυειδῆ τὴν λῆψιν ἔλαχεν. ἔστι γὰρ ὑποτυπῶσαί τε καὶ διαγράψαι τὸ προβληθέν. Ἡ ἀπὸ τοῦ ποιητικοῦ αἰτίου, ὡς τοῦ Πλάτωνος ἐν ὅροις. Ἡμέρα ἐστὶν ἡλίου πορεία ὑπὸ ἀνατολῶν εἰς δυσμάς.